www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὴν Ὁσίαν Μαρίαν τὴν Αἰγυπτίαν

Ἦχος πλ. β'

Ἅγιον Ὅρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# Ἕτερος εἰς τὴν Ὁσίαν Μαρίαν τὴν Αἰγυπτίαν, οὗ ἡ ἀκροστιχίς, «Αἰγυπτίᾳ τῇ Μαρίᾳ προσπίπτω», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ». Ἦχος πλ. β'

*Ὠιδὴ Α' Βοηθὸς καὶ σκεπαστής.*

Ἀπαρχὴν ἁμαρτιῶν, ποιῶν ὁ τάλας ἐκτραγωδῆσαι, Μῆτερ τῶν ἐμῶν, σοὶ προσπίπτω θερμῶς, ταῖς σαῖς ἱκεσίαις, ὁ Χριστός μοι παρασχεῖν, δάκρυα κατανύξεως.

Ἰταμοῖς ἐκδουλωθείς, καὶ ἀπηνέσι δεσπόταις Μῆτερ, τῶν δεινῶν παθῶν, πονηροῖς λογισμοῖς, προσπίπτοντά σοι δίδου, ταῖς εὐχαῖς σου με εὑρεῖν, Ὁσία παρακλήσεως.

Γυμνωθεὶς τῆς τοῦ λουτροῦ, στολῆς ὁ τάλας τῇ προαιρέσει, τῆς ἐπιστροφῆς, οὐκ ἐμνήσθην διό, Χριστῷ Ὁσία Μῆτερ, τῷ Θεῷ τῶν οἰκτιρμῶν, εὐχαῖς σου με κατάλλαξον.

*Θεοτοκίον.*

Ἰδε Κόρη ἀγαθή, τὴν πώρωσίν μου πῶς ἐπιμένω, ἔθει ἐναγεῖ, καὶ ὡς οἶδας κἀμέ, εὐσπλάγχνως ἐκκόψαι, πρὸ τῆς ὥρας τῆς φρικτῆς, Μῆτερ ἐλέους σθένωσον.

*Ὠιδὴ Γ' Στερέωσον Κύριε.*

Ὑπόδειγμα γέγονας, Μῆτερ Ὁσία ὡσεὶ τοῖς πᾶσι, κατ' ἐμὲ παρανομήσασι, τῆς Παρθένου δάκρυσι, τυχοῦσα βοήθειαν.

Πεσοῦσαν τὴν τάλαιναν, τοῖς παραπτώμασι τὴν ψυχήν μου, τὴν σὴν Μῆτέρ μοι πρυτάνευσον, Προστασίαν ἄμαχον, Ὁσία τῆς Μητρὸς τοῦ Θεοῦ.

Τοῖς ἔργοις ἐμόλυνα, καὶ τοῖς νοήμασι καὶ τοῖς λόγοις, τὴν ψυχήν μου ὁ ἀσύνετος, μεταγνῶναι πρέσβευε, Ὁσία με τάχιον.

*Θεοτοκίον.*
Λιμῷ περιπέπτωκα, ἐξ ἀφροσύνης μου Παναγία, τῆς πανακηράτου βρώσεως, σύ με καταξίωσον, τυχεῖν ταύτης Ἄχραντε.

*Ὠιδὴ Δ΄ Ἀκήκοεν ὁ Προφήτης.*
Ἰδού σοι τῆς μετανοίας, ὦ ψυχή μου ἀπεικόνισμα τῆς Αἰγυπτίας, τῆς Μαρίας ὄντως πανεξαίρετον, διὸ σπεῦσον τάχει πρὸ τοῦ τέλους σου, καὶ πρόσπεσον τῇ Μητρὶ τοῦ ἐλέους, ταύτης ἐξαιτοῦσα τὴν βοήθειαν.

Ἁπάντων τῶν ἐν ἀνθρώποις, ὑπερέβην ὁ ἀχρεῖος παρανομησάντων, τῇ λαγνείᾳ δουλωθεὶς ὁ ἄθλιος, κατερρύπωσα εἰκόνος τὸ ἀρχέτυπον, Μῆτερ Ὁσία, ταῖς σαῖς πρεσβείαις, ἵλεων τὸν Πλάστην μοι ἀπέργασαι.

Τὴν ἄθεσμον ἁμαρτίαν, διαφυγοῦσα γέγονας Ὁσία Μῆτερ, μετανοίας πᾶσι καθυπόδειγμα, τοῖς ἐν ἀνομίαις βιωτεύσασι,

φιλάνθρωπον τὸν Θεὸν ἐκδυσώπει, μεταγνῶναι καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε.

*Θεοτοκίον.*

Ἀπέγνωσμαι Παναγία, τῆς ἁμαρτίας μὴ ἐκφεύγων ὅλως, σύ με φιλευσπλάγχνως σθένωσον, ἄλλην γὰρ ἐλπίδα, ὁ ταλαίπωρος οὐ κέκτημαι, ἁμαρτωλῶν ἡ Προστάτις, φεῖσαί με Ἁγνὴ ὅπως δοξάζω σε.

*Ὠιδὴ Ε΄ Ἐκ νυκτὸς ὀρθρίζοντα.*

Ἡ σὴ μνήμην Πανοσία ἔφανε, φῶς ὡς οὐράνιον, καταυγάζουσα ψυχάς, τῶν πίστει σε τιμώντων, καὶ ἀνυμνούντων Χριστόν, τοῦ κόσμου τὸν Σωτῆρα.

Μακρυνθεῖσα κοσμικῆς συγχύσεως, ἔρημον ᾤκησας, τῶν Ἀγγέλων βιοτήν, διαπερῶσα Μῆτερ, ὑπόδειγμα, μετανοίας ὀφθεῖσα.

Ἀποπτᾶσα τῶν γηΐνων ἔφθασας, πρὸς τὴν ἀκρώρειαν, ἀληθῶς τῶν ἀρετῶν, Μῆτερ καὶ τῆς ἀλήκτου, Βασιλείας Χριστοῦ, κληρονόμος ἐγένου.

*Θεοτοκίον.*

Ῥυπαρὰ Πανάμωμε τὰ ἔργα μου, ἐξ ὧν οὐκ ἔστι μοι, σωτηρίας ἡ ἐλπίς, σύ με πρὸ τοῦ θανάτου, Κόρη δώρησαι, λογισμὸν μετανοίας.

*Ὠιδὴ ΣΤ΄ Ἐβόησα.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ῥαντίσμασι, τῶν δακρύων ἤρδευσας, Μῆτερ τῆς ψυχῆς σου τὴν γῆν, καὶ σπόρον μετανοίας, ἐπλήθυνας Ὁσία, καὶ προσήγαγες, τῷ Χριστῷ καὶ Σωτῆρι.

Ἰσχύσασα, φωνῇ τῆς Θεόπαιδος, ῥεῖθρα Μαρία ποταμοῦ, διέβης ἐν πίστει, καὶ ἐν ἐρήμῳ πᾶσαν διεξήγαγες, τῷ Χριστῷ καὶ Σωτῆρι.

Ἀνέκραγες, Ὁσία τῷ Κτίστῃ σου, τῷ φιλοικτίρμονι Θεῷ, Σῶτερ μὴ παρίδῃς, τὴν παραπετωκυῖαν, ἀλλ᾽ ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου.

*Θεοτοκίον.*
Ἱλάσθητι τῷ τάλανι Δέσποινα, τῷ ἀναξίῳ ἐντυχεῖν, τοῦ θείου σου ἐλέους, πρὶν ὥρα με προφθάσῃ, τὸν πανάθλιον, ἐξαπίνης τοῦ τέλους.

*Ὠιδὴ Ζ΄ Ἡμάρτομεν, ἠνομήσαμεν.*
Πανθαύμαστος, περιλάλητος, καὶ ξενήκουστος Ὁσία Μῆτερ, ὁ δρόμος τῆς ἀσκήσεως, δι᾽ οὗ καταβέβληκας, τὰς τοῦ ἐχθροῦ μηχανάς, διὸ καὶ νῦν τῷ Σωτῆρι, Μαρία εὔχου ὑπὲρ ἡμῶν ἐκτενῶς.

Ῥοῦν ἔστησας, τὸν παγχάλεπον, τῆς κακίας τῶν δακρύων ὄμβροις, τὴν σάρκα μαράνασα, συντόνοις ἀσκήσεσι, κατηξιώθης ὁρᾶν, τὰ

πόρρω Πανοσία, διὸ τῆς ἄνω, ζωῆς τετύχηκας.

Οὐράνιον, ἐπιδέδειξαι, πολιτείαν ἐν σαρκὶ Ὁσία, Ἀγγέλους ἐξέπληξας, ἀνθρώποις καθυπόδειξις, μεταμελείας ὡς ἀληθῶς, πανεύφημε ὡράθης, καὶ νῦν ὑμνοῦμέν σου τὸ μνημόσυνον.

*Θεοτοκίον.*
Ὡς ἄθεσμα καὶ παράνομα, καὶ αἰσχύνης γέμοντα Παρθένε, τὰ ἔργα μου καὶ δέδοικα, τὴν φλόγα τῆς κολάσεως, τῇ εὐσπλαγχνίᾳ σου νῦν, προσφεύγοντά με δίδου, μετανοῆσαι καὶ μὴ ἀπόλλωμαι.

*Ὠιδὴ Η' Ὃν στρατιαί.*
Σὺν τοῖς χοροῖς, τῶν Ἀγγέλων πέλουσα, Ὁσία ἐν οὐρανοῖς, τῷ Δημιουργῷ, πάντων παρισταμένη, πρεσβεύουσα μὴ παύσῃ, ὑπὲρ τῶν ὑμνούντων, τὴν πάνσεπτόν σου μνήμην.

Πάσῃ τῇ γῇ, τῶν κατορθωμάτων σου, ἐξῆλθεν ὡς ἀληθῶς, τῶν ἀσκητικῶν, ὁ φθόγγος Πανοσία, δι' ὧν τῶν σκηνωμάτων, ἐπέτυχες Μῆτερ, ἐν οὐρανοῖς τῶν ἁγίων.

Ἴδε Σωτήρ, τὴν ἐμὴν ἀσθένειαν, ὡς φύσει ὢν ἀγαθός, ταῖς τῆς σῆς εὐχαῖς, δούλης κἀμοὶ παράσχου, Μαρίας τῆς Ὁσίας, μετάνοιαν ὅπως, ὑμνῶ σε εἰς αἰῶνας.

*Θεοτοκίον.*

Νυκτὸς Ἁγνή, καὶ τοῦ σκότους ἅπαντα, τὰ ἔργα μου καὶ πρὸς σέ, τὴν καταφυγήν, τῶν κατ᾽ ἐμὲ προσφεύγω, τῶν οἰκτιρμῶν σου Κόρη, θαρρῶν ὁ ἀχρεῖος, πελάγει τῷ ἀπείρῳ.

*Ὠιδὴ Θ΄ Ἀσπόρου συλλήψεως.*

Περάνασα δίαυλον, ἀσκητικῶς τοῦ βίου σου τρισμακαρία, τῷ κόσμῳ ἐσταύρωσαι, Ὁσία τοῖς παθήμασι, καὶ ταῖς ἐπιθυμίαις, καὶ νῦν Μαρία ὡς ἀληθῶς, συναγάλλῃ τῶν ὁσίων, ἀεὶ Μῆτερ ἐν σκηνώμασι.

Τοῖς πίστει τιμῶσί σε, καὶ πόθῳ ἀνυμνοῦσί σε, Ὁσία Μῆτερ, Χριστὸν καθικέτευε, δωρήσασθαι τὴν ἄφεσιν, τῶν πεπλημμελημένων, καὶ ἐν τῇ ὥρᾳ τῇ φοβερᾷ, τοῦ πυρὸς τοῦ αἰωνίου, ἐκλυτρώσηται ὡς εὔσπλαγχνος.

Ὠιδὴν τὴν τρισάγιον, Ὁσία ἀναπέλπουσα, τῷ πάντων Κτίστῃ, Πατρὶ τῷ γεννήτορι, Υἱῷ καὶ τῷ Πνεύματι, μέμνησο τῶν σὲ πίστει, ὑμνολογούντων καὶ ἐξαιτοῦ, τῇ ἀπείρῳ αὐτοῦ δοῦναι, εὐσπλαγχνίᾳ ἡμῖν ἔλεος.

*Θεοτοκίον.*

Μητέρα καὶ Ἔφορον, ἡμῶν θεοχαρίτωτε, οἱ ἐν τῷ Ὄρει, τὴν οἴκησιν ποιούμενοι, σὲ ἔχοντες ἅπασαν, τὴν ἐλπίδα ἡμῶν Κόρη, καὶ σὲ πόθῳ μεγαλύνομεν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Προσόμοια.*
*Αἱ ἀγγελικαί. Ἦχος πλ.β΄*

Τῇ πανσθενουργῷ, ἀρωγῇ ἐπιρρωσθεῖσα, Κόρης καὶ Μητρός, τοῦ Σωτῆρος καὶ Δεσπότου, τῆς ἁμαρτίας Μῆτερ, τὴν ἀχλὺν διεξέφυγες, καὶ ἐν ταῖς ἐρήμοις σου τὸν βίον, διεξελθοῦσα ἐν ἀσκήσει, ἡμῖν ἔλιπες, ὑπογραμμὸν τῆς ἀληθοῦς, Ὁσία μεταγνώσεως.

Τῶν βιωτικῶν, προσπαθείας ἐκφυγοῦσα, καὶ τοῖς ὀχετοῖς τῶν δακρύων σου Ὁσία, Μαρία καθαρθεῖσα, τῷ Σωτῆρι πανένδοξε, Μῆτερ καὶ αὐτῷ προσαρμοσθεῖσα, ἀγαλλιῶσα ἀνεβόας, Χριστὲ δύναμις, καὶ ἡ λύτρωσίς μου σύ εἶ, φιλάνθρωπε δόξα σοι.

Θεῖός σε πατὴρ, ὑπερβᾶσαν θαυμασίως, ῥεῖθρα ποταμοῦ, θεοφόρε Μῆτερ εἶδε, Μαρία καὶ τῶν θείων, Ζωσιμᾶς σοι μετέδωκε, καὶ ζωοπαρόχων μυστηρίων, καὶ πρὸς Χριστὸν ἀναδραμοῦσα, ἀεὶ πρέσβευε, τῆς αἰωνίου ἐκφυγεῖν, ἡμᾶς κατακρίσεως.

Τῶν ἁμαρτωλῶν, σὺ εἶ μόνη Προστασία, καὶ χειραγωγός, πρὸς μετάνοιαν Παρθένε, τῶν παραπεπτωκότων, τὸν πεσόντα με Δέσποινα, ἔγειρον εὐσπλάγχνως καὶ πρὸς τρίβον, τῆς μετανοίας καθοδήγησον, ὅπως τοῦ μέλλοντος, καὶ αἰωνίζοντος ῥυσθῶ, πυρὸς τῆς κολάσεως.